*Ὅστις σοι βούλευσεν ἐμεῦ πέρι, καί σ' ἐκέλευσεν*
*οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην –*
*ὕβρις καὶ Μάγνητας ἀπώλεσε καὶ Κολοφῶνα*
*καὶ Σμύρνην. πάντως, Κύρνε, καὶ ὔμμ' ἀπολεῖ.*

*Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον.*
*πολλοὶ ἀπείρητοι δόξαν ἔχουσ' ἀγαθοί.*
*εἰς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολύβδωι*
*χρυσὸς ἄπεφθος ἐὼν καλὸς ἅπασιν ἔσηι.*

*Οἴ μοι ἐγὼ δειλός· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,*
*τοῖς δὲ φίλοισι πόνος δειλὰ παθὼν γενόμην.*

*Κύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρίν*
*νῦν ἀγαθοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,*
*τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας*
*τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.*
*ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,*
*οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.*

*Πολλὰ δ' ἀμηχανίηισι κυλίνδομαι ἀχνύμενος κῆρ·*
*ἀρχὴν γὰρ πενίης οὐχ ὑπερεδράμομεν.*

*Χρήματ' ἔχων πενίην μ' ὠνείδισας· ἀλλὰ τὰ μέν μοι*
*ἔστι, τὰ δ' ἐργάσομαι θεοῖσιν ἐπευξάμενος: –*
*Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων,*